eul_wid: jug-ab

*Ἥδυλος ὁ Σάμιος* · Hedylus of Samos

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 161.1.1 Εὐφρὼ καὶ Θαῒς καὶ Βοίδιον, αἱ Διομήδους,
book 161.1.2 Γραῖαι, ναυκλήρων ὁλκάδες εἰκόσοροι,
book 161.1.3 Ἆγιν καὶ Κλεοφῶντα καὶ Ἀνταγόρην, ἕν᾽ ἑκάστη,
book 161.1.4 γυμνούς, ναυηγῶν ἥσσονας, ἐξέβαλον.
book 161.5.1 ἀλλὰ σὺν αὐταῖς νηυσὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
book 161.5.2 φεύγετε· Σειρήνων αἵδε γὰρ ἐχθρότεραι.
book 199.1.1 Οἶνος καὶ προπόσεις κατεκοίμισαν Ἀγλαονίκην
book 199.1.2 αἱ δόλιαι καὶ ἔρως ἡδὺς ὁ Νικαγόρεω,
book 199.1.3 ἧς πάρα Κύπριδι ταῦτα μύροις ἔτι πάντα μυδῶντα
book 199.1.4 κεῖνται παρθενίων ὑγρὰ λάφυρα πόθων,
book 199.5.1 σάνδαλα καὶ μαλακαί, μαστῶν ἐνδύματα, μίτραι,
book 199.5.2 ὕπνου καὶ σκυλμῶν τῶν τότε μαρτύρια.
book 292.1.1 Αἱ μίτραι τό θ᾽ ἁλουργὲς ὑπένδυμα τοί τε Λάκωνες
book 292.1.2 πέπλοι καὶ ληρῶν οἱ χρύσεοι κάλαμοι,
book 292.1.3 πάνθ᾽ ἅμα Νικονόη συνεπήιεν· ἦν γὰρ Ἐρώτων
book 292.1.4 καὶ Χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.
book 292.5.1 τοιγὰρ τῷ κρίναντι τὰ καλλιστεῖα Πριάπῳ
book 292.5.2 νεβρίδα καὶ χρυσέην τήνδ᾽ ἔθετο προχόην.
book 123.1.1 Ἆγις Ἀρισταγόρην οὔτ᾽ ἔκλυσεν οὔτ᾽ ἔθιγ᾽ αὐτοῦ·
book 123.1.2 ἀλλ᾽ ὅσον εἰσῆλθεν, κῴχετ᾽ Ἀρισταγόρης.
book 123.1.3 ποῦ τοίην ἀκόνιτος ἔχει φύσιν; ὦ σοροπηγοί,
book 123 Ἆγιν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.
book 414.1 Λυσιμελοῦς Βάκχου καὶ λυσιμελοῦς Ἀφροδίτης
book 414 γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.